## ἐπιφθεγματικὸν ποίημα

Hephaest. 71. 16 sqq. ἔστι δέ τινα καὶ τὰ καλούμενα ἐπιφθεγματικά, ἃ διαφέρει ταύτῃ τῶν ἐφυμνίων, ὅτι τὰ μὲν [ἐφύμνια] καὶ πρὸς νοῦν συντελεῖ τι, τὰ δὲ [ἐπιφθεγματικὰ] ἐκ περιτοῦ ὡς πρὸς τὸ λεγόμενον τῇ στροφῇ πρόσκειται· οἷον τὸ Βακχυλίδου (*18 [25])

ἦ καλὸς Θεόκριτος, οὐ μόνος ἀνθρώπων ὁρᾷς,

καὶ πάλιν παρὰ τῷ αὐτῷ Βακχυλίδῃ (*19 [26])

σὺ δ᾽ ἐν χιτῶνι μούνῳ παρὰ τὴν φίλην γυναῖκα φεύγεις.

Οταν μὲν οὖν βραχέα ᾖ τὰ ἐπιφθεγματικά, τοῦτο πρόσεστιν αὐτοῖς ὄνομα· ἐὰν δὲ καὶ τηλικαῦτα, ὥστε στροφὴν ἐκπληροῦν, καὶ προτετάχθαι μὲν τὴν τοῦ ποιητου στροφήν, ἐπεζεῦχθαι δὲ τὴν τῶν ἐπιφθεγματικῶν, εἶτα πάλιν τὰ ἴσα κατὰ τὸν αὐτὸν λόγον, ἔσται τὸ τοιοῦτον σύστημακατὰ περικοπὴν ἀνομοιομερές.

Schol. in Aesch. *Ag.* 782b (I, p. 163. 12 sqq. Smith) Tr + ἄγε δή, βασιλεῦ· σύστημα ἐπιφθεγματικὸν μετὰ τὰς στροφὰς καὶ ἀντιστροφὰς εἰς δύο περιόδους διηιρημένον κώλων ἀναπαιστικῶν κζ′, ὧν τὸ β′, τὸ ε′ καὶ τὸ κα′ μονόμετρα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα, τὰ δὲ ἐν ταῖς ἀποθέσεσι τῶν περιόδων καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἐπὶ τῆι ἀποθέσει τῆς πρώτης περιόδου παράγραφος, ἐπὶ δὲ τῆς β′ κορωνίς, ὑποχωρήσαντος τοῦ χοροῦ. [*R.S.*]